## ΚΛΑΣΣΙΚΟΙ ΣΤΙΧΟΙ

### Α'

### Ἀρχίλοχος*

*— Ὧδέ μοι ἐξηγήσατ' ἀνὴρ Πάριος πολυίστωρ·*
*«Ὃν ἐξέκρινε Μοῦσα καὶ Μουσηγέτης,*
*αἰὲν ὁμαρτοῦσιν φιλικῶς τιμῶσι τ' ἀέλπτως,*
*βροτοῖς δ' ἄσυλος ᾠδός ἐστ' ἐτήτυμος.*
*Ἀρχίλοχος — τίς ἔτ' οἶδε μαθὼν Παρίων μέγ' ἄγαλμα;*
*νέος ὢν ἐπεὶ βοῦν εἰς ἀγορὰν κατήγαγεν,*
*τρεῖς λαμπραὶ τῷ μειρακίῳ σεμναί τε γυναῖκες*
*ἤντησαν, ἡ δὲ φερτάτη προσεῖπέ νιν.*
*» Μηκέτι βοῦς ἀγοράνδ' ἐλάσῃς, ὦ παῖ Τελεσίκλους,*
*ψυχὰς γὰρ ἀνδρῶν, ἴσθ' ἄγειν εἱμαρτός εἶ.»*
*Οἷον ὄναρ τριὰς ἦν ἀφανὴς τὸ παραυτὰ γυναικῶν*
*ἔρρει τε βοῦς, αὐτὸς δ' ἔχει κιθάραν χερί.*

*Ποιητὴς δὲ γεγὼς πενίαν προσκτᾶται ἄνασσαν*
*(νόθον γὰρ αὐτὸν ἔτεκεν Τελεσικλῆς πατήρ)*
*μισθωτοῖς τ' Ἄρεως θεράπων βιοτεύει ἐν ὄχλοις*
*ἀδίκως ἄνανδρος ῥίψοπλος καλούμενος —*
*ἆρ' Ἕκτωρ ψόγον ἔσχε φυγών, Τροίας μέγ' ἄριστος;*
*Μουσῶν, πέποιθ' ἔσωσε ποιητὴν χάρις.*
*Ἐκ βελέων σωθεὶς δ' ἐτεὸν βίον ᾄδει ἀοιδὸς*
*καινοὺς δι' οἴμους, τῆλ' ἄπωθ' Ὁμηριδῶν·*
*οὐχ ἵππου μὲν τοῦ ξυλίνου πέρι μυθολογεύει*
*οὔτ' αὖ συνεύνους καὶ πλάνας Ὀδυσσέως,*
*ἀλλὰ τὰ νῦν καὶ τῇδε λέγων ἄλλος τις Ὅμηρος*
*αὐτοῦ παθῶν ἰατρὸς αὐτάρκης ἔφυ.*
*Οὐ τόσσον μέλει Ἀρχιλόχῳ Πηλείδου ἐρώτων,*
*ὅσον Νεοβούλης τῆς καλῆς Λυκαμβίδος.*
*πικρογάμους ψευσθείς, νὴ Ζῆν', ἀφίησιν ἰάμβους,*
*ἄγαν γὰρ ὕβρις εὐγενῶν δάκνει νόθον!*
*Ῥήμασι δ' αὖ μεγαλοψύχοις λύπην ἐκράτησε*
*ῥυθμὸν νοήσας, πάντας ὃς βροτοὺς ἔχει —*
*ἀλλὰ τί γνωστὰ λαλῶ; κλύεθ', ὡς ἔτιεν τὸν ἀοιδόν,*
*ὃν Φοῖβος ἐξέκρινε, καὶ τεθνηκότα.*
*Νάξιος οὐκ ἐθέλων ὅτ' ἀπέκτανέ νιν πολεμῶν τις,*
*δεινὴν ἔτεισε τῷ θεῷ τιμωρίαν.*
*τῇδε γὰρ ἐκ Δελφῶν ἐφόβησεν ἄναξ νιν ἀπειλῇ·*
*«Φοῖβον φύγ', ὦ μιαρώτατ' Ἀρχιλόχου φονεῦ!»*
*«Μήτις ἐμῶν ἐχθρῶν» προσέθηκε γέρων πολυίστωρ*
*«οὕτως ὄλοιθ', ὅπως ἔτεισ' ὁ Νάξιος!»*

Wilhelm Kuchenmüller — Stuttgart

* Ὁ ποιητής, παλαιὸς φιλόλογος κλασσικὸς ἐν Γερμανίᾳ, ἐπισκεφθεὶς ἐσχάτως τὴν Πάρον ἐνεπνεύσθη τὸ παρὸν ποίημα.